ΤΗ Ζ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ
† Κυριακῆς μεγαλομάρτυρος (δ΄ αἰ.),
Θωμᾶ ὁσίου τοῦ ἐν Μαλεῷ (ι΄ αἰ.).

Ἡ ἀκολουθία ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν, μετὰ τῶν ὕμνων τῆς Παρακλητικῆς.

Τῇ Τρίτῃ πρωΐ.
Ἦχος δ΄.
* * *

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ ἀναγνώστης· Ἀμήν.
Καὶ λέγει τὸ τρισάγιον.
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. Ἐκ γ΄.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Παναγία Τριάς, * ἐλέησον ἡμᾶς· * Κύριε, * ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· * Δέσποτα, * συγχώρησον τὰς ἀνομίας ἡμῖν· * Ἅγιε, * ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν * ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, * ἁγιασθήτω τὸ ὄνομά σου· * ἐλθέτω ἡ βασιλεία σου· * γενηθήτω τὸ θέλημά σου, * ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· * τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον * δὸς ἡμῖν σήμερον· * καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, * ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· * καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, * ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ τὰ τροπάρια ταῦτα.

Σῶσον, Κύριε, τὸν λαόν σου * καὶ εὐλόγησον τὴν κληρονομίαν σου, * νίκας τοῖς βασιλεῦσι * κατὰ βαρβάρων δωρούμενος * καὶ τὸ σὸν φυλάττων * διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, * τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ * τοὺς οἰκτιρμούς σου δώρησαι, * Χριστὲ ὁ Θεός· * εὔφρανον ἐν τῇ δυνάμει σου * τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, * νίκας χορηγῶν αὐτοῖς * κατὰ τῶν πολεμίων· * τὴν συμμαχίαν

ἔχοιεν τὴν σήν, * ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, * μὴ παρίδῃς, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, * πανύμνητε Θεοτόκε· * στήριξον ὀρθοδόξων πολιτείαν· * σῷζε οὓς ἐκέλευσας βασιλεύειν * καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· * διότι ἔτεκες τὸν Θεόν, * μόνη εὐλογημένη.

Ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ΄.

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ΄.

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ΄.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Καὶ εὐθὺς ἐκφωνεῖ ὁ ἱερεύς·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ο ΕΞΑΨΑΛΜΟΣ - ΑΙ ΕΥΧΑΙ

Καὶ ἀναγινώσκει ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης) τὸν Ἑξάψαλμον.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)

Ψαλμὸς γ΄ (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ· δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Καί πάλιν.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Ψαλμὸς λζ΄ (37).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.
Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.
Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.
Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.
Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ.
Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.
Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾽ ἐμὲ ἐμεγαλορρήμονησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Ψαλμὸς ξβ΄ (62).

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δέ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Καὶ τὰ ἑξῆς ἄνευ μετανοιῶν·

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός (τρίς).
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμὸς πζ΄ (87).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωΐ ἡ προσευχή μου προφθάσει σε.
Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;
Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Καὶ πάλιν.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ

ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ψαλμὸς ρβ΄ (102).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ψαλμὸς ρμβ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.
Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.
Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σού εἰμι.

Καὶ πάλιν.

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)

Εἶτα·

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.
Καὶ τὰ ἑξῆς μετὰ μετανοιῶν γ΄,
ἤτοι κεφαλοκλισιῶν καὶ σταυρῶν.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου.

ΤΑ ΕΙΡΗΝΙΚΑ

Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κτλ.
Οἱ δὲ χοροὶ εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον μέχρι καὶ τῆς Ἀντιλαβοῦ, σῶσον...
Ὁ διάκονος· Τῆς Παναγίας, ἀχράντου...
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα...
Ὁ χορός· Ἀμήν.

* * *

Ἦχος Δι



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



Ἀπολυτίκιον.

Τῆς Ἁγίας.

Κατεπλάγη Ἰωσήφ. Ἦχος ⸗ Δι ⸗

Η α μνας σȣ Ι η σȣ κρα ζει με γα λη τη φω

νη β σε νυμ φι ε μȣ πο θω και σε ζη τȣ σα Α

θλω Δ και συ σταυ ρȣ μαι και συν θαπ το μαι τω βαπ τι

σμω ω ω σȣ β και πα σχω δι α σε ως βα σι λευ

σω συν σοι Δ και θνη σκω υ περ σȣ ι να και ζη σω εν

σοι β αλλ ως θυ σι αν α μω μον προ σδε χȣ την με τα

πο θȣ τυ θει ει σαν σοι Δ αυ της πρε σβει αις ως ε λε

η η μων ζ σω σον τας ψυ χας η μων β

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

τὸ ὁμόηχον θεοτοκίον ἢ σταυροθεοτοκίον ἐκ τῶν ἁρμοδίων διὰ τὰς καθημερινάς (ὅρα εἰς Ὡρολόγιον «θεοτοκία ἀπολυτίκια»).

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος ⸗ Δι ⸗

Τη Θε ο το ο κω ω ε κτε νως νυν προσ δρα μω

μεν Δ α μαρ τω λοι οι και αι τα πει νοι και προ σπε σω

μεν Δ εν με τα νοι α κρα ζον τες εκ βα θȣς ψυ χης Δ

Δε σποι να βο η θη η σον Δ εφ η μιν σπλαγ χνη σθει



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

Τῆς Ὀκτωήχου.

Οἱ χοροὶ ἐναλλὰξ ψάλλουν τὰ ὑμνολογικὰ καθίσματα τῆς Παρακλητικῆς, κατόπιν δὲ ὁ ν΄ ψαλμὸς χῦμα.

Κατὰ τὰς ἡμέρας καθ᾽ ας τὸ Μηναῖον δὲν ἔχει καθίσματα, ψάλλονται τὰ τῆς Παρακλητικῆς. Καὶ ὅταν μὲν στιχολογοῦνται τρία καθίσματα Ψαλτηρίου, ψάλλονται ὅλα τὰ καθίσματα τῆς Παρακλητικῆς· ὅταν δὲ στιχολογοῦνται δύο καθίσματα, ψάλλονται τῇ μὲν Δευτέρᾳ, Τετάρτῃ καὶ Πέμπτῃ τὰ τῆς α΄ καὶ γ΄ στιχολογίας, τῇ δὲ Τρίτῃ καὶ Παρασκευῇ τὰ τῆς β΄ καὶ γ΄ στιχολογίας.

ΤΗ ΤΡΙΤΗ ΠΡΩΪ ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ Στιχολογίαν, ἕτερα Καθίσματα.

Κατανυκτικά.

Ἦχος δ΄ Δι



Κατεπλάγη Ἰωσήφ. Ἦχος δι



Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἦχος δι



Μετὰ τὴν β΄ Στιχολογίαν, ἕτερα Καθίσματα.
Τοῦ Προδρόμου. Ταχὺ προκατάλαβε.

Τρυγὼν ἡ φιλέρημος, ὁ ἱερὸς Βαπτιστής, κηρύξας μετάνοιαν, καὶ φανερώσας Χριστόν, γενόμενον ἄνθρωπον, πάντων ἁμαρτανόντων, ἐγεννήθη προστάτης, πᾶσι χειμαζομένοις, βοηθῶν

ἀενάως. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ, σῶσον τὸν κόσμον σου.

Μαρτυρικόν, ὅμοιον.

Σταυρῷ ὁπλισάμενοι, οἱ Ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα, τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες, νέμουσι τὰς ἰάσεις, τοῖς ἐν πίστει αἰτοῦσιν. Αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἡ μόνη κυήσασα, τὸν Ποιητὴν τοῦ παντός, ἡ μόνη κοσμήσασα, τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου Ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τοῦ δολίου βελίαρ· στῆσόν με ἐπὶ πέτραν, τῶν Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς, ὃν ἐσωμάτωσας.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν

αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

ΟΙ ΚΑΝΟΝΕΣ

ὁ α΄ τῆς Παρακλητικῆς καὶ οἱ δύο τοῦ Μηναίου·
Κανὼν τῆς Παρακλητικῆς.
Κανὼν Κατανυκτικός, οὗ ἡ ἀκροστιχίς,
ἄνευ τῶν Εἱρμῶν καὶ τῶν Θεοτοκίων,
πλὴν τοῦ Θεοτοκίου τῆς θ΄ ᾠδῆς·
Καθα(ρτικ)οῖς με δάκρυσιν πλῦνον, Λόγε. Ἰωσήφ.
Ὠδὴ α΄. Ὁ Εἱρμός.
Ἦχος δ΄.

Ὁ πατάξας Αἴγυπτον, καὶ Φαραὼ τὸν τύραννον, βυθίσας ἐν θαλάσσῃ, λαὸν διέσωσας δουλείας, μωσαϊκῶς ᾄδοντα, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Κεκρυμμένως πράττοντα, ἔργα τοῦ σκότους Κύριε, μὴ φανερῶς ἐλέγξῃς, μὴ στηλιτεύσῃς ἐπὶ πάντων, ἀλλὰ φωτὶ λάμπρυνον, γνησίας μετανοίας, Σωτὴρ καὶ σῶσόν με.
Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Ἁμαρτίας πάντοτε, ἐφ᾽ ἁμαρτίαις Δέσποτα, ὁ ἄσωτος συνάπτω, καὶ οὐκ αἰσθάνομαι τοῦ φόβου, τοῦ σοῦ ποτὲ Κύριε· διό με πρὸ τοῦ τέλους, σῶσον οἰκτείρησον.

Μαρτυρικά.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Θυρεῷ σκεπόμενοι, τῆς εὐσεβείας Ἅγιοι, κατέχοντες ὡς ξίφος, Σταυροῦ τὸ ὅπλον πρὸς τὴν πάλην, τοῦ δυσμενοῦς ἔνδοξοι, ἐξήλθετε καὶ τοῦτον κατηδαφίσατε.
Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Αἱμοβόρους λέοντας, καὶ ξίφη κατατέμνοντα, καὶ βράσματα λεβήτων, ξεσμοὺς ὀνύχων σπαθισμούς τε, καὶ ἀλγεινὰ βάσανα, οἱ Μάρτυρες οἱ θεῖοι, οὐκ ἐπτοήθησαν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὴν σκηνὴν τὴν ἄχραντον, καὶ κιβωτὸν καὶ τράπεζαν, τὸ ὄρος οὗ ἐτμήθη, ἄνευ χειρὸς ἀνθρώπου λίθος, ὁ τοῦ παντὸς Κύριος, Μαρίαν τὴν Παρθένον, ὕμνοις τιμήσωμεν.

Ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν φωτισμόν, τῆς θείας χάριτος ἔνδοξε, ἐν τῇ ψυχῇ δεξάμενος, ὡς ἄλλην Αἴγυπτον, τῶν παθῶν τὴν ὁμίχλην, κατέλιπες καὶ βίον, ἔσχες οὐράνιον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Περιφανής, Πάτερ ἐν βίῳ γενόμενος, κατὰ βαρβάρων ἔστησας, ἄπειρα τρόπαια· καὶ μονάσας ὁσίως, τὸ στῖφος τῶν δαιμόνων, κατετραυμάτισας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀσκητικῶς, τῷ δυσμενεῖ συμπλεκόμενος, τῇ συμμαχίᾳ Ὅσιε, τοῦ θείου Πνεύματος, ἐταπείνωσας τοῦτον, καὶ νίκης οὐρανόθεν, στέφανον εἴληφας.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μόνη Θεόν, πᾶσι τὸν ὄντα ἀχώρητον, σοὶ χωρητὸν γενόμενον, δι᾽ ἀγαθότητα, ἀπεκύησας Κόρη· ὃν αἴτησαι σωθῆναι, τοὺς ἀνυμνοῦντάς σε.

Ὁ Κανὼν τῆς Ἁγίας, οὗ ἡ Ἀκροστιχίς·

Χαίρων κροτῶ σε, Μάρτυς, εὐσεβοφρόνως. Ἰωσήφ.

Ἦχος β΄. Δεῦτε λαοί.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Χαρμονικῶς, ἐπὶ τῇ μνήμῃ χορεύσωμεν, τῆς ἀθληφόρου Μάρτυρος, καὶ ἐκβοήσωμεν· Ταῖς αὐτῆς ἱκεσίαις, Χριστὲ Σωτὴρ οἰκτίρμον, σῷζε τὸν κόσμον σου.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Αἴγλῃ τῇ σῇ, φωτιζομένη ἡ ἔνδοξος, Κυριακὴ φιλάνθρωπε, σκότος διέφυγε, πολυθέου ἀπάτης, καὶ πᾶσιν ἰαμάτων, φέγγος ἀπήστραψεν.

Δόξα.

Ἵνα Χριστῷ, τῷ ἀθανάτῳ νυμφίῳ σου, εὐαρεστήσῃς θάνατον, καὶ πῦρ καὶ βάσανα, εἰς οὐδὲν ἐλογίσω· διὸ τῆς ἀθανάτου, δόξης ἠξίωσαι.

Καὶ νῦν. Θεοτοκίον.

Ῥύμην Ἁγνή, τὴν τοῦ θανάτου ἀνέστειλας, ἀθανασίας πρόξενον, Χριστὸν κυήσασα· ὃν ὁ Ἅδης θανέντα, βουλήσει ἑκουσίᾳ, ἰδὼν

ἐτρόμαξεν.

Κανὼν τῆς Παρακλητικῆς.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ἦχος δ΄.

Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα, στερέωσόν με Κύριε, ἵνα ὑμνῶ σε εἰλικρινῶς, καὶ ποιῶ τὸ θέλημά σου, ὅτι οὐκ ἔστιν ἅγιος, ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ τῶν τυφλῶν τὰ ὄμματα φωτίσας, τοὺς ὀφθαλμούς μου φώτισον, ἐσκοτισμένους ταῖς ἡδοναῖς, καὶ τοῦ βίου ταῖς φροντίσι, καὶ μηδαμοῦ τοῖς κρίμασι, τοῖς σοῖς ἀτενίζοντας.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἴδε καιρός, ἀνάνηψον ψυχή μου, ἐκ τῶν κακῶν ὧν ἔπραξας, καὶ τῷ Δεσπότῃ καὶ λυτρωτῇ, ἀναβόησον ἐν φόβῳ· Τῆς μετανοίας πύλας μοι, Χριστὲ ἀναπέτασον.

Μαρτυρικά.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σεσοβημένος ὤφθη ὁ βελίαρ, τοῖς θείοις ἀγωνίσμασι, τῶν Ἀθλοφόρων καὶ ὑπ᾽ αὐτῶν, συμπατούμενος ὁρᾶται, νεκρὸς καὶ ἀνενέργητος, ὁ πρῴην καυχώμενος.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Μαρτυρικῶς τὸν δρόμον διανύσας, ὁ τῶν Ἁγίων σύλλογος, τὰς μυριάδας τῶν νοητῶν, Αἰθιόπων θείῳ σθένει, ὡς ἀληθῶς διέκοψε, καὶ δόξης ἐπέτυχε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῶν προπατόρων ἔλυσας τὴν λύπην, χαρὰν ἡμῖν κυήσασα, τὸν Ζωοδότην καὶ Λυτρωτήν, Παναγία Θεοτόκε· ὃν ἐκτενῶς ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἁγίου.

Ὠδὴ γ΄. Ἦχος β΄. Στερέωσον ἡμᾶς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς σαῖς ἐπικαμφθεὶς Θεὸς δεήσεσι, χειρί σε Προφήτου δεσμῶν ἀφῆκε, καὶ πορεύεσθαι εὐώδωσε, πρὸς ἐπίπονον σκάμμα τῆς ἀσκήσεως. (δίς)

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ στύλῳ Ἰσραὴλ ποτὲ τὴν ἔρημον, παμμάκαρ διέρχεσθαι εὐδοκήσας, διὰ στύλου σε πυρὸς ὁδηγεῖ, προειδὼς τῆς ψυχῆς σου τὴν εὐγένειαν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χρυσοῦν ὡς ἀληθῶς θυμιατήριον, καὶ στάμνον τοῦ μάννα καὶ θεῖον ὄρος, καὶ παλάτιον τερπνότατον, τοῦ Θεοῦ σε Παρθένε ὀνομάζομεν.

Τῆς Ἁγίας. Ὁ αὐτός.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ Λόγος τοῦ Θεοῦ ἁγνήν σε ἄφθορον, ὡς κάλλει ἐκλάμπουσαν τῆς ψυχῆς σου, ἑαυτῷ νύμφην προσήκατο, ἐρασθείς σου δι᾽ ἄκραν ἀγαθότητα.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὰ κάλλη τὰ ἐκτὸς καταμαράνασα, τὴν ἔνδον ὑπέδειξας εὐμορφίαν, τῷ γινώσκοντι τὰ κρύφια· διὰ τοῦτό σε Μάρτυς ἐμνηστεύσατο.

Δόξα.

Ὡς κλάδος ἱερὸς ὡραία τέθηλας, ἐκ ῥίζης ἁγίας παρθενομάρτυς, καὶ καρποὺς ὡραίους ἤνεγκας, τὴν τρυφὴν τὴν ἀγήρω προξενοῦντάς σοι.

Καὶ νῦν. Θεοτοκίον.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον, τεκοῦσα Παρθένε τοῦ σοφιστοῦ με, τῆς κακίας ἐλευθέρωσον, μεσιτείᾳ σου μόνη παναμώμητε.

Ὁ Εἱρμός τῆς γ΄ ᾠδῆς.

Ἦχος Πα



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα. Τοῦ Ὁσίου.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῷ Κυρίῳ Ὅσιε εὐαρεστήσας, διὰ θείων πράξεων, καὶ πολιτείας καθαρᾶς, τῆς κληρουχίας ἠξίωσαι, τῶν Ἀσωμάτων, Θωμᾶ παμμακάριστε.

Δόξα. Τῆς Ἁγίας.

Ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Ἁγνείας στιλπνότητι, κρίνον ὡς εὔοσμον, κοιλάσιν ἐξήνθησας, Κυριακὴ τῷ Χριστῷ, μαρτύρων πανεύφημε. Λάμψεσιν ἐφωτίσθης, ἐπιγνώσεως θείας, πλάνης δυσωδεστάτης, ἀπελαύνουσα βλάβην· διὸ καὶ ἑορτάζομεν Μάρτυς τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ στεῖρα τὴν ἔλευσιν, προκατιδοῦσα τὴν σήν, καὶ σῶν ἀσπασμῶν φωνήν, ἐνηχηθεῖσα ὠσίν, ἠπόρει τῷ πράγματι, ἔνδοθεν ἐγνωκυῖα, ἀσπασμοῖς σοῖς Παρθένε· ἐσκίρτα γὰρ τὸ βρέφος, ἐν αὐτῆς τῇ νηδύι· διὸ τοῦ ἐν γαστρί σου Θεοῦ, ἔγνω τὴν σάρκωσιν.

Ὁ Εἱρμός τῆς ς΄ ᾠδῆς.

Ἦχος Πα



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Τῆς Ἁγίας.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἡ Μάρτυς Χριστοῦ, ἡμᾶς συνεκαλέσατο, τοὺς ἄθλους αὐτῆς, τοὺς θείους καὶ παλαίσματα, ἐγκωμίοις ᾄσαι νῦν· φερωνύμως αὕτη γὰρ πέφηνεν, ὡς ἀνδρεία τῷ φρονήματι, * κυρία νοός τε, καὶ παθῶν ἀπρεπῶν.

Ὁ Οἶκος.

Τῆς τῶν εἰδώλων πλάνης, κρατούσης ἀνὰ πᾶσαν τὴν γῆν, καὶ περιπολούσης, φιλόχριστοι, μέδοντός τε δυσσεβοῦς καὶ ἀπανθρώπου ὄντος, παρὰ πάντας ἀνθρώπους, προσεκυνεῖτο ἡ τῶν ἀθέων μιαρὰ καὶ δυσώνυμος αἵρεσις· τῇ τούτου γὰρ ἀθεωτάτῃ φωνῇ, τὰ πλήθη ὑπήκουεν, ὡς τοὺς μὴ εἴκοντας τῇ αὐτοῦ ἀσεβείᾳ, θάνατον ἀπειλῆσαι σφοδρόν τε καὶ δύσμορον. Ἀλλ᾽ ἡ Μάρτυς Χριστοῦ, τὰς τῶν τυράννων ἀθέους προσταγάς τε καὶ ἀπειλὰς καταπτύσασα, καὶ Χριστὸν τὸν Θεὸν ἐν μέσῳ τοῦ σταδίου κηρύξασα, τὸν ἐχθρὸν κατεπάτησεν· ὅθεν ὤφθη ἀληθῶς * κυρία νοός τε, καὶ παθῶν ἀπρεπῶν.

Συναξάριον.

Τῇ Ζ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς ἁγίας παρθενομάρτυρος Κυριακῆς. (†305-311)

Στίχ. Κυριακὴ θανοῦσα, τὴν τομὴν φθάνει,
Προαιρέσει πλὴν καὶ τελειοῦται ξίφει.

Ἑβδομάτῃ προτομῇ ξίφεος θάνε Κυριακή.

Κυριακῇ πέφυκε παθῶν κυρίᾳ,
Διόπερ ὑπέμεινεν ἄθλα μυρία.

Τῇ δ᾽ ἑβδομάτῃ θάνε Κυριακῇ μεγαλάθλοιο.

Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ τοῦ βασιλέως, Δωρόθεός τις χριστιανὸς σὺν Εὐσεβείᾳ τῇ γυναικὶ αὐτοῦ, ἄτεκνοι ὄντες, ἐδέοντο τοῦ Θεοῦ δοθῆναι αὐτοῖς καρπὸν ἐκ τῆς ὀσφύος αὐτῶν καὶ τῷ Θεῷ τοῦτον προσενεγκεῖν· γεννήσαντες δὲ παιδίον θῆλυ ἐν ἡμέρᾳ Κυριακῇ, καὶ βαπτίσαντες ἐπωνόμασαν αὐτὴν Κυριακήν· καὶ ἐν παιδείᾳ καὶ νουθεσίᾳ ἐκτρέφοντες ἐτήρουν παρθένον, ὡς τῷ Θεῷ ταύτην ἀναθέσθαι βουλόμενοι· διωγμοῦ δὲ γενομένου, παρεδόθησαν Διοκλητιανῷ τῷ βασιλεῖ· καὶ ἀνακρίνας οὗτος αὐτοὺς καὶ τυπτήσας, τοὺς μὲν γονεῖς παρέπεμψεν Ἰούστῳ Δουκὶ ἐν τοῖς μέρεσι τῆς Μελιτηνῆς, τὴν δὲ Κυριακὴν Μαξιμιανῷ τῷ Καίσαρι ἐν Νικομηδείᾳ· ὃς ταύτην ἐπανακρίνας, καὶ ἐν τῇ πίστει στερρὰν εὑρὼν καὶ ἀκλόνητον, ῥίψας χαμαὶ ἔτυψεν ἐπὶ πολλὰς ὥρας· τῆς δὲ ἁγίας προσευχομένης, ἐμαίνετο ὁ δικαστὴς κατὰ τῶν ὑπηκόων· καί φησιν ἡ ἁγία πρὸς αὐτόν· μὴ πλανῶ, Μαξιμιανέ, οὐδέποτέ μου κυριεύσεις, Θεοῦ βοηθοῦντός μοι· καὶ παρέπεμψεν αὐτὴν Ἱλαριανῷ τῷ ἄρχοντι Βιθυνίας. Ὁ δὲ ταύτην ἐπανακρίνας εἰσήγαγεν εἰς τὸ εἰδωλεῖον· προσευξαμένης δὲ αὐτῆς, γέγονε σεισμὸς μέγας, καὶ πεσόντα τὰ εἴδωλα τοῦ ναοῦ πάντα συνετρίβησαν, καὶ ἐγένοντο ὡσεὶ χνοῦς· καὶ εἰσελθοῦσα λαῖλαψ ἀνέμου ἐσκόρπισε τὸν χοῦν εἰς τὸν ἀέρα· καὶ ἐλθοῦσα ἀστραπὴ πυρὸς κατέκαυσε τὸ πρόσωπον Ἱλαριανοῦ τοῦ ἄρχοντος, καὶ πεσὼν ἐκ τοῦ θρόνου ἐξέψυξεν· ἐλθὼν δὲ καὶ ἕτερος ἄρχων, διάδοχος αὐτοῦ ἀναμαθὼν πάντα κατεδίκασε τὴν ἁγίαν πυρίκαυστον γενέσθαι· καὶ ἀνάψαντες μεγάλην πυρκαϊὰν ἠκόντισαν τὴν ἁγίαν ἐν μέσῳ ἡ δὲ τὰς χεῖρας εἰς ὕψος πετάσασα, ηὔξατο πρὸς τὸν Θεὸν ἐπὶ πολλὰς ὥρας καὶ τοῦ ἀέρος θερινοῦ καὶ καθαροῦ ὄντος, κατελθοῦσα νεφέλη ἐκ τοῦ οὐρανοῦ ἔσβεσε πᾶσαν τὴν δύναμιν τοῦ πυρός, μηδὲν τῆς μάρτυρος λωβηθείσης· ἀπολύσας δὲ αὐτὴν ἐν τῷ σταδίῳ καὶ θῆρας διαφόρους κατ᾽ αὐτῆς ἐπαφείς, οὐδὲν ἤνυσεν· ἐκυλίοντο γὰρ οἱ

θῆρες παρὰ τοὺς πόδας αὐτῆς, ἐφ᾽ ᾧ καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ἡ δὲ ἁγία ἐβλήθη ἐν τῇ φυλακῇ· καὶ τῇ ἑξῆς προκαθίσας ὁ ἄρχων ἔδωκεν ἀπόφασιν κατ᾽ αὐτῆς· καὶ λαβόντες ταύτην οἱ δήμιοι ἐξήγαγον ἔξω τῆς πόλεως πρὸς τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν αὐτῆς. Ἡ δὲ αἰτησαμένη προσεύξασθαι προσηύξατο ἐπὶ πολλὰς ὥρας· καὶ κατῃχήσασα τοὺς συνακολουθήσαντας αὐτῇ χριστιανούς, κατακλιθεῖσα εἰς τὴν γῆν, ἐκοιμήθη ἐν εἰρήνῃ· καὶ προσελθόντες οἱ στρατιῶται, ὡς ἴδον αὐτὴν νεκράν, ἐξέστησαν· γέγονε δὲ πρὸς αὐτοὺς φωνή, πορεύεσθε, ἀδελφοί, καὶ διηγεῖσθε πᾶσι τὰ μεγαλεῖα τοῦ Θεοῦ· οἱ δὲ ὑποστρέψαντες ἐδόξαζον τὸν Θεόν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θωμᾶ τοῦ ἐν τῷ Μαλεῷ. (ι΄ αἰ.)

Στίχ. Διεὶς πτέρυγας, εἶπεν ἂν Μωσῆς, Πάτερ,
Ὡς ἀετός τις ἐξανέπτης πρὸς πόλον.

Οὗτος ἐν περιφανεῖ καὶ περιβλέπτῳ καὶ στρατιωτικῷ βίῳ πρότερον ἐνδιαπρέψας καὶ πολλὰ καὶ μέγιστα κατὰ βαρβάρων στήσας τρόπαια, ὕστερον τὸν Χριστὸν ποθήσας καὶ ἅπαντα ὡς οὐδὲν λογισάμενος, τὸν ζυγὸν Κυρίου ὑπέδυ τὸν ἐλαφρότατον. Τοσοῦτον δὲ τῷ φερεπόνῳ τῆς ἀρετῆς τοὺς πολλοὺς ὑπερήλασεν, ὡς στῦλος πυρὸς ἐν τῷ προσεύχεσθαι τοῖς πέλας, καὶ τούτων τοῖς εὐδοκιμωτάτοις, διαδείκνυσθαι. Ὅθεν δαίμονας ἐξ ἀνθρώπων ἀποδιώξας καὶ τυφλοὺς ὀμματώσας καὶ χωλοὺς ἀνορθώσας καὶ πηγὴν ὕδατος προσευξάμενος ἀναβλύσαι ποιήσας καὶ ἕτερα θαύματα κατεργασάμενος, ἀνεπαύσατο ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Περεγρίνου καὶ τῶν σὺν αὐτῷ, Λουκιανοῦ, Πομπηΐου, Ἡσυχίου, Παππίου, Σατορνίνου καὶ Γερμανοῦ. (β΄ αἰ.)

Στίχ. Σὺν ἓξ κατῆλθεν εἰς βυθὸν Περεγρῖνος,
Ἀθλήσεως ἐκεῖθεν ἀγρεύσων στέφος.

Οὗτοι ὑπῆρχον ἐξ Ἰταλίας· διὰ δὲ τὸν ὑπὸ Τραϊανοῦ γεγονότα διωγμόν, ἐν τῷ Δυῤῥαχίῳ ἔρχονται. Ἐν ᾧ, τὸν Ἅγιον Ἄστειον τὸν Ἐπίσκοπον ἐπὶ σταυροῦ κρεμάμενον ἰδόντες καὶ τοῦτον μακαρίσαντες, συλλαμβάνονται ὑπὸ τῶν ταξιωτῶν· καὶ χριστιανοὺς ἑαυτοὺς ἀνακηρύξαντες, προστάξει τοῦ ἀνθυπάτου Ἀγρικολάου, ἐν τῷ τοῦ Ἀδρία πελάγει ἐῤῥίφησαν· καὶ οὕτω τὸν τοῦ Μαρτυρίου στέφανον ἐκομίσαντο.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Πανταίνου τοῦ ἀπολογητοῦ ἐν Ἀλεξανδρείᾳ. (†203)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Ἐπικτήτου πρεσβυτέρου καὶ Ἀστίωνος μοναχοῦ, τῶν ἐν Ἀλμυρίδι τῆς Μικρᾶς Σκυθίας. (†290)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Εὐαγγέλου, ἐπισκόπου Τόμιδος τῆς Μοισίας. (†284-305)

Στίχ. Εὐάγγελος τὸ θεῖον ἐκ ξίφους τέλος
Εὐαγγελισμὸν εἶχε τοῦ θείου στέφους.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Εὐσταθίου, πυρὶ τελειωθέντος. (†284-305)

Στίχ. Πρὸς εὐστάθειαν καρδίας Εὐσταθίου
Καὶ πῦρ συρῖζον ἠρεμοῦν ὤφθη ὕδωρ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Πολυκάρπου. (†284-305)

Στίχ. Οὕτως ὄναιο σῶν, σφαγεῦ, θελημάτων
Σφάττειν τάχει με τὸν Πολύκαρπον θέλων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου καὶ ὁμολογητοῦ Ἀπολλωνίου, ἐπισκόπου Βριξίας (Brescia) ἐν Ἰταλίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἰλλιδίου (Illidius), δ΄ ἐπισκόπου Κλερμόντης (Clermont) ἐν Γαλατίᾳ. (†385)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Προσπέρου ἐν Ἀκουϊτανίᾳ, τὸ πρῶτον ἐγγάμου καὶ εἶτα ἀφιερωθέντος τοῖς ἱεροῖς γράμμασι. (~†455)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Παλλαδίου, α΄ ἐπισκόπου τῶν Σκώτων. (ε΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Βονίτου (Bonitus), δ΄ ἡγουμένου τῆς μονῆς ὄρους Κασσίνου (Monte Cassino) πλησίον τῆς Ῥώμης. (~†582)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Φήλικος, ἐπισκόπου Νάντης ἐν Γαλλίᾳ. (†584)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων αὐταδέλφων Μεδράνου (Medran) καὶ Ὀδράνου (Odran), μαθητῶν τοῦ ἁγίου Κιεράνου (Kieran) τῆς Ὀσραίγης (Osraighe) ἐν Ἰρλανδίᾳ. (Ϛ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Ἐθελβούργης (Æthelburh), ἡγουμένης τοῦ κοινοβίου Θεοτόκου (Faremoutiers) ἐν Γαλλίᾳ. (~†664)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἀμπελίου (Ampelius), ἐπισκόπου Μιλάνου ἐπὶ Λομβαρδῶν. (~†672)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Χέδε (Hædde), ἐπισκόπου τῶν δυτικῶν Σαξόνων ἐν Βίνσεστερ (Winchester) τῆς Ἀγγλίας. (†705)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Βιλλιβάλδου (Willibald), ἐπισκόπου Ἄιχσταϊ (Eichstätt) καὶ φωτιστοῦ τῆς Βαυαρίας. (~†787)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ῥουαδάνου (Máel Rúadán, Maelruain), κτίτορος μονῆς ἐν Τάλλαχτ (Tallaght) ἐν Ἰρλανδίᾳ. (†787)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ἀγγελέμου (Angelelmus), ἡγουμένου τῆς μονῆς Μαρτύρων Γερβασίου καὶ Προτασίου, καὶ ἐπισκόπου Αὐτισσιοδώρου (Autissiodorum) ἐν Γαλλίᾳ. (†828)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου τοῦ Ἀκαρνᾶνος, ἡγουμένου τῆς ἱερᾶς μονῆς Εἰσοδίων Θεοτόκου

Σκλαβαίνων, καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων, Θεοκλήτου ἀρχιμανδρίτου, Συμεὼν καὶ Ἰγνατίου τῶν ἱερομονάχων, Νικηφόρου, Χαρίτωνος καὶ Παντελεήμονος τῶν μοναχῶν. (†1004)

Στίχ. Ἱερομάρτυς Βλάσιε ἡγούμενε ἀγάλλου,
Ἀκαρνανία μήτηρ σου νεοφανῶς σοι ψάλλει.

Ἀγαρηνῶν ἡ μάχαιρα ἐν τοῖς Σκλαβαίνοις,
Βλάσιον ἐναπέτεμε συναθλητάς τε πέντε.

Τῷ μαρτυρίῳ ἔφθασαν ἐν Κυριακῇ ἡμέρᾳ,
πρὸς Κύριον ὁ Βλάσιος, μονάζοντές τε πέντε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Εὐφροσύνης, κατὰ κόσμον Εὐδοξίας, μεγάλης δουκίσσης τῆς Μόσχας. (†1407)

Στίχ. Εὐφροσύνης νῦν χωρίον Εὐφροσύνη,
Οἰκεῖ ὡς βαστάσασα λύπας τοῦ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ Δευτέρᾳ τοῦ Ματθαίου, μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν Ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθωνος ἀσκήσει καὶ ἀθλήσει διαλαμψάντων Πατέρων.

Στίχ. Ὄρη παρῆλθε πάντα, τοῦ Ἄθω Ὄρος,
Εὐρωπαϊκῆς γῆς, τῇ ἁγιωνυμίᾳ·

Ἤνθησεν ἄνθη ἀνθεοτρεφὴς Ἄθως,
Ὄντως νοητά, τοὺς δὲ θείους Πατέρας·

Χορὸν θεοειδῆ τῶν ἐν Ἄθῳ Πατέρων,
Χορὸς γεραίρει τῶν Μοναστῶν τοῦ Ἄθω.

Πληθὺς Ἀθωνιάς, ἀμφὶ θόωκον στῆκε Θεοῖο.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Ὁ Εἱρμός τῆς η΄ ᾠδῆς.

Ἦχος Πα

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.



* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

1

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.



2

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης Αὐτοῦ ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.



3

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα Αὐτοῦ, καὶ τὸ ἔλεος Αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις Αὐτόν.





4

Ἐποίησε κράτος ἐν βραχίονι Αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.



5

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.



6

Ἀντελάβετο Ἰσραὴλ παιδὸς Αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ καὶ τῷ σπέρματι Αὐτοῦ ἕως αἰῶνος.





Ὁ Εἱρμός τῆς θ΄ ᾠδῆς.

Ἦχος Πα



καὶ τὸ Ἄξιον ἐστίν:

Ἦχος Πα



ρως Θε ον Λο γον τε κȣσαν την ον τως Θε ο το κον σε ε

με γα λυ νο με ε ε εν

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Λέγεται τὸ τῆς ἡμέρας
τῆς ἑβδομάδος ὡς ἐν τῷ Ὡρολογίῳ
μετὰ τοῦ Θεοτοκίου ἢ Σταυροθεοτοκίου αὐτοῦ.

Τῇ Τρίτῃ.

Ὁ οὐρανὸν τοῖς ἄστροις. Ἦχος Γα ϩ

Τον Προ δρο μον Ι ω α αν νην και Βα πτι στην

τȣ ȣ Σω τη ρος τον εν Προ φη ταις Προ φη η την

και της ε ρη μȣ ȣ το θρεμ μα της Ε λι σα βε

ετ τον γο ο νον α νευ φη μη σω ω μεν παν

τες

Θεοτοκίον, ὅμοιον.

Ὁ οὐρανὸν τοῖς ἄστροις. Ἦχος Γα ϩ

Ο γλυ κα σμος των Α γγε λων των θλι βο με

νων η χα ρα Χρι στι α νων η προ στα τις Παρ

θε νε Μη τηρ Κυ ρι ȣ αν τι λα βȣ μȣ και



* * *

ΑΙΝΟΙ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τοὺς Αἴνους ὡς ἀκολούθως.

Ψαλμὸς ρμη΄ (148).

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ψαλμὸς ρμθ΄ (149).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν

σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν,
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ψαλμὸς ρν΄ (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

* * *

ΔΟΞΟΛΟΓΙΑ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τὴν μικρὰν δοξολογίαν ὡς ἀκολούθως.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Δόξα ἐν ὑψίστοις Θεῷ * καὶ ἐπὶ γῆς εἰρήνη, * ἐν ἀνθρώποις εὐδοκία.
Ὑμνοῦμέν σε, * εὐλογοῦμέν σε, * προσκυνοῦμέν σε, * δοξολογοῦμέν σε, * εὐχαριστοῦμέν σοι * διὰ τὴν μεγάλην σου δόξαν.
Κύριε βασιλεῦ, * ἐπουράνιε Θεέ, * Πάτερ παντοκράτορ· * Κύριε Υἱὲ μονογενές, * Ἰησοῦ Χριστέ, * καὶ ἅγιον Πνεῦμα.
Κύριε ὁ Θεός, * ὁ ἀμνὸς τοῦ Θεοῦ, * ὁ Υἱὸς τοῦ Πατρός, * ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, * ἐλέησον ἡμᾶς, * ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.
Πρόσδεξαι τὴν δέησιν ἡμῶν, * ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, * καὶ ἐλέησον ἡμᾶς.
Ὅτι σὺ εἶ μόνος ἅγιος, * σὺ εἶ μόνος Κύριος, * Ἰησοῦς Χριστός, * εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Κύριε, * καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ καὶ γενεᾷ. * Ἐγὼ εἶπα· * Κύριε, ἐλέησόν με· * ἴασαι τὴν ψυχήν μου, * ὅτι ἥμαρτόν σοι.
Κύριε, πρὸς σὲ κατέφυγον· * δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, * ὅτι σὺ εἶ ὁ Θεός μου.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σου * τοῖς γινώσκουσί σε.
Καταξίωσον, Κύριε, * ἐν τῇ ἡμέρᾳ ταύτῃ * ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου * εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, * τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, * καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε· * δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· * συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· * φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· * τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, * σοὶ πρέπει ὕμνος, * σοὶ δόξα πρέπει, * τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, * νῦν καὶ ἀεὶ * καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.
Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα,

εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

Εἰς τὸν Στίχον τῶν Αἴνων.

Ἀπόστιχα Στιχηρά.

Τῆς Παρακλητικῆς.

τὸ α΄ ἄνευ στίχου·

Ἦχος Βου



τὸ β΄ μὲ στίχον

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν

εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.



τὸ γ΄ μὲ στίχον

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.



Δόξα. Καὶ νῦν.

τὸ θεοτοκίον (ἢ σταυροθεοτοκίον) τῆς Παρακλητικῆς.



* * *

Εἶτα ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (Ψαλμ. ϟα΄ 2-3)

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἀπολυτίκιον.

Τῆς Ἁγίας.

Κατεπλάγη Ἰωσήφ. Ἦχος ⸗ Δι ⸗

Η α μνας σȣ Ι η σȣ κρα ζει με γα λη τη φω

νη β σε νυμ φι ε μȣ πο θω και σε ζη τȣ σα Α

θλω Δ και συ σταυ ρȣ μαι και συν θαπ το μαι τω βαπ τι

σμω ω ω σȣ β και πα σχω δι α σε ως βα σι λευ

σω συν σοι Δ και θνη σκω υ περ σȣ ι να και ζη σω εν

σοι β αλλ ως θυ σι αν α μω μον προ σδε χȣ την με τα

πο θȣ τυ θει ει σαν σοι Δ αυ της πρε σβει αις ως ε λε

η η μων Ζ σω σον τας ψυ χας η μων β

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Θεοτοκίον λέγομεν ἐκ τῶν εἰδικῶν διὰ τὸ τέλος τοῦ καθημερινοῦ ὄρθρου θεοτοκίων (ὅρα ἐν τέλει τοῦ Ὡρολογίου τὰ ψαλλόμενα θεοτοκία εἰς ἕκαστον ἦχον ἐν ὅλῳ τῷ ἐνιαυτῷ).

Ἦχος ⸗ Δι ⸗

Σ ε με γα λυ νο μεν Θε ο το κε βο ων τες Δ χαι

ρε α δυ τȣ φω τος νε φε ε ε λη β αυ τον βα

στα σα σα εν κολ ποις Δ της δο ξης τον Κυ ρι ον β

* * * * *

(ἂν θὰ τελεσθῇ λειτουργία, τὰ κάτωθι ἐν ταῖς ἐνορίαις συνήθως λέγονται μυστικῶς, ἐνῷ ψάλλονται τὰ ἀπόστιχα τῶν αἴνων ἢ –ἐν ἑορτίῳ ὄρθρῳ– ἡ μεγάλη δοξολογία)

Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

Εἶτα ὁ διάκονος (ἢ ὁ ἱερεὺς) τὴν ἐκτενῆ δέησιν, ὁ δὲ λαὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον (τρίς).

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου (τῆς ἁγίας μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

* * *

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Εὐλόγησον.

Ὁ ἱερεύς·

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.
Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.
Ὁ ἱερεὺς· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.
Ὁ ἀναγνώστης· Δόξα. Καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ ἅγιε, εὐλόγησον.
Καὶ ὁ ἱερεὺς τὴν μεγάλην ἀπόλυσιν·
Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.
Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.
Ὁ λαός· Ἀμήν.

* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἑξαπλᾶ.

Ἦχος πλ. Νη ϛ



Κυ ρι ε Ε λε ε ε η η σον

Κυ ρι ε Ε λε ε ε ε η σον

Ἀθανασίου Καραμάνη.

Ἦχος Νη

Κυ ρι ε Ε λε ε ε η σον

Κυ ρι ε Ε ε λε ε η σον

Κυ ρι ε Ε ε λε η σον

Κυ ρι ε Ε λε η σον

Κυ ρι ε Ε λε ε η σον

Κυ ρι ε Ε λε ε ε η σον

καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * * * *

Ἀντίφωνα (τὰ λεγόμενα τῶν καθημερινῶν).

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϟα΄ (91).

Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϟα΄ 2)

Ταις πρε σβει αις της Θε ο το κου Σω τε ε ερ

σω σον η μας

Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ϟα΄ 3)



Στίχ. γ΄. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ϟα΄ 5)



Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ϟα΄ 16)



Δόξα. Καὶ νῦν.



Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϟβ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϟβ΄ 1)



Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (ϟβ΄ 1)



Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (Ҧβ΄ 4)



Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (Ҧβ΄ 5)



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.





σας σταυ ρω θεις τε Χρι στε ο Θε ος θα να τω

θα να τον πα τη η σας εις ων της α γι ας Τρι

α α α δος συν δο ξα ζο ο με νος τω Πα τρι

και τω Α γι ω Πνε ευ μα τι σω σον η μα α

ας

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος β΄. Ψαλμὸς ϟδ΄ (94).

Στίχ. α΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. (ϟδ΄1)

ω σον η μα ας Υι ε ε Θε ου ο εν

Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη λȣ

ȣ ι α

Στίχ. β΄. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. (ϟδ΄2)

ω σον η μα ας Υι ε ε Θε ου ο εν

Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη λȣ

ȣ ι α

Στίχ. γ΄. Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. (ϟδ΄3)

ω σον η μα ας Υι ε ε Θε ου ο εν



* * *

Ψαλλομένου τοῦ γ΄ ἀντιφώνου γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι



ὁ β΄ χορός:



Ἀπολυτίκιον.

Τῆς Ἁγίας.

Κατεπλάγη Ἰωσήφ. Ἦχος Δι



σω συν σοι και θνη σκω υ περ σȣ ι να και ζη σω εν

σοι αλλ ως θυ σι αν α μω μον προ σδε χȣ την με τα

πο θȣ τυ θει ει σαν σοι αυ της πρε σβει αις ως ε λε

η η μων σω σον τας ψυ χας η μων

Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκια.
[τὸ τῆς ἡμέρας τῆς ἑβδομάδος]

Τῇ Τρίτῃ, Κοντάκιον τοῦ Προδρόμου.

Τὰ ἄνω ζητῶν. Ἦχος Δι

Προ φη τα Θε ȣ και Προ δρο με της χα α ρι

τος την κα ραν την σην ως ρο δον ι ε ρω ω τα

τον εκ της γης ευ ρα με νοι τας ι α σεις παν το τε

λαμ βα α νο μεν και γαρ πα λιν ως προ ο τε ρον

εν κο σμω κη ρυτ τεις την με τα α α νοι αν

Κοντάκιον τῆς Θεοτόκου.
(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἦχος Δι

Προ στα σι α των Χρι στι α νων α κα ται αι

σχυν τε με σι τει α προς τον Ποι η την α με τα

α θε τε μη πα ρι δης α μαρ τω λων δε η σε ων

φω νας α λλα προ φθα σον ως α γα θη εις την

βο η θει αν η μων των πι ι στως κραυ γα ζο ον

των σοι τα α χυ νον εις πρε σβει ει αν και σπευ

σον εις ι κε σι ι αν η προ στα τευ ου σα

α ει Θε ο το κε των τι μων των σε ε ε

* * *

Τρισάγιον. Σύντομον.

Ἦχος Δι

Α γι ι ος ο Θε ε ος Α α γι ι

ος Ι σχυ υ ρος Α γι ος Α θα α να α τος

ε ε λε η σον η η μα ας (τρίς)

Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνε ευ μα

τι

Κ αι νυν και α ει και εις τους αι ω νας των αι

ω νων α α μην

Α γι ος Α θα α να α τος ε ε λε η

σον η η μα ας

* * *

ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος Δι

Α α γι ι ο ο ος ο ο ο Θε ο ο ο ος

α α γι ι ο ο ος ι ι ι σχυ ρο ο ο ος α

α γι ι ος α θα α να τος ε λε ε ε η σο ο

ον η μα ας

Τό τρίτον.

Α γι ος ο Θε ο ο ο ο ο ο ο

ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ος

α α γι ι ος α θα α να τος ε λε ε ε η

σο ο ον η μα ας

Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα

τι

Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω

νων α μην

Α α γι ι ος α θα α να τος ε λε ε ε

η σο ο ον η μα ας

Δυ να α α μις Α γι ος ο Θε ο ο ο

ο ο ο ο ο ο ο ο ο ο ος α γι ος

ι σχυ ρο ο ο ο ος α α α α α α

α α α α γι ι ι ος α θα α να α α το ο

ο ος ε λε ε η η σον η η μα ας

* * *

Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας.

ΤΗ ΤΡΙΤΗ ΤΗΣ ΣΤ΄ ΕΒΔΟΜΑΔΟΣ

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος βαρύς.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. (ξγ΄ 11)

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. (ξγ΄ 2)

Ἢ ὁ ψάλτης.

Ἦχος Γα

Ευ φραν θη η σε ται δι καιος εν τω Κυ ρι ι ω

και ελ πι ει επ αυ τον και ε παι νε θη σον ται πα

αν τες οι ευ θει εις τη καρ δι ι α

Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ



Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

(Α΄ Κορ. α΄ 1-9)

Παῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Πιστὸς ὁ Θεὸς δι᾽

οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Ἀλληλούϊα. (γ΄) Ἦχος β΄. (Ψαλμὸς ϟα΄).

Ἦχος Δι



Στίχ. α΄. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ





Στίχ. β΄. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν



Ἐκ τοῦ κατὰ Ματθαῖον

(ιγ΄ 24-30).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· 25 ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου καὶ ἀπῆλθεν. 26 ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια. 27 προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει ζιζάνια; 28 ὁ δὲ ἔφη αὐτοῖς· ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; 29 ὁ δὲ ἔφη· οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον· 30 ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ, καὶ ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς· συλλέξατε πρῶτον τὰ ζιζάνια καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά, τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου.

Ἦχος ἀ Δι



Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος πλ. Δι



υ υ στι ι ι κω ω ω ω ω ω ω ω ω ω

ως ει κο ο νι ι ι ι ι ι ι ι ζο ο ο

ο ο ει κο ο νι ι ι ι ι ι ζο ο ον

τε ε ε ε ε ε ε ε ες και αι αι αι

τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι

ζω ο ο ποιοι ω ω Τρι ι α α α α ϩα α α

α α α α α α α α α α α α Τρι α α

α α δι ι το ον τρι ι σα α α α

γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον

προ σα α α δο ο ο υ μνον προ ο σα α α

δο ο ον τε ες πα α α α α α σα α α α

αν την βι ι ω τι ι κη η η η η η η ην α

πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε

ρι ι ι μνα α α α α α α α α α αν

Ω ς τον βα σι ι λε ε ε ε ε ε ε

ε ε ε ε ε ε ε βα α σι ι λε ε ε



Τὰ Λειτουργικὰ,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος ἰἰ Δι



Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ

δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *





Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι





Κοινωνικὸν τῆς ἡμέρας.
Τῇ Τρίτῃ. Κοινωνικόν, Πέτρου Λαμπαδαρίου.

Ἦχος Βαρύς Ζω





Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἕλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.

ΑΘΗΝΑΙ 2003

Οἱ ἐντὸς παρενθέσεως ἕλξεις καὶ φθορὲς ἐκτελοῦνται κατὰ βούλησιν.

Ἦχος Δι

Ε ι δο μεν το φω ως το α λη θι νον ε λα βο
μεν Πνευ μα ε που ρα νι ον ευ ρο μεν πι ϛιν α λη
θη α δι αι ρε τον Τρι α δα προ σκυ νȣ ȣ ȣ ȣν
τες αυ τη γαρ η μας ε ε σω σε ε εν

Ἦχος Δι

Π λη ρω θη η τω το στο μα η μων αι νε σε
ως σȣ Κυ ρι ε ο πως α νυ μνη σω μεν την δο ο
ξαν σȣ ο τι η ξι ω σας η μας των α
γι ων σȣ με τασ χειν μυ στη ρι ι ι ι ων τη ρη σον
η μας εν τω σω α γι α σμω ω ο λην την η
με ε ραν με λε των τας την δι και ο συ υ νην σȣ
Α λλη λȣ ϊ α Α λλη λȣ ϊ α Α λλη
λȣ ϊ α α α

Ἦχος Δι

Ε ι η το ο νο μα Κυ ρι ȣ ευ λο γη με


(δὶς)
νον α πο τȣ νυν και ε ως τȣ αι ω ω νος
Τ ο ο νο μα Κυ ϱι ȣ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τȣ νυν και ε ως
τȣ αι ω ω νο ο ος